[8]καὶ Δαυιδ καὶ πᾶς Ισραηλ παίζοντες ἐναντίον τοῦ θεοῦ ἐν πάσῃ 8
δυνάμει καὶ ἐν ψαλτῳδοῖς καὶ ἐν κινύραις καὶ ἐν νάβλαις, ἐν τυμ-
πάνοις καὶ ἐν κυμβάλοις καὶ ἐν σάλπιγξιν. [9]καὶ ἤλθοσαν ἕως τῆς 9
ἅλωνος, καὶ ἐξέτεινεν Οζα τὴν χεῖρα αὐτοῦ τοῦ κατασχεῖν τὴν
κιβωτόν, ὅτι ἐξέκλινεν αὐτὴν ὁ μόσχος. [10]καὶ ἐθυμώθη ὀργῇ κύριος 10
ἐπὶ Οζα καὶ ἐπάταξεν αὐτὸν ἐκεῖ διὰ τὸ ἐκτεῖναι τὴν χεῖρα αὐτοῦ
ἐπὶ τὴν κιβωτόν, καὶ ἀπέθανεν ἐκεῖ ἀπέναντι τοῦ θεοῦ. [11]καὶ ἠθύ- 11
μησεν Δαυιδ ὅτι διέκοψεν κύριος διακοπὴν ἐν Οζα, καὶ ἐκάλεσεν
τὸν τόπον ἐκεῖνον Διακοπὴ Οζα ἕως τῆς ἡμέρας ταύτης. [12]καὶ 12
ἐφοβήθη Δαυιδ τὸν θεὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων Πῶς εἰσοίσω
πρὸς ἐμαυτὸν τὴν κιβωτὸν τοῦ θεοῦ; [13]καὶ οὐκ ἀπέστρεψεν Δαυιδ 13
τὴν κιβωτὸν πρὸς ἑαυτὸν εἰς πόλιν Δαυιδ καὶ ἐξέκλινεν αὐτὴν εἰς
οἶκον Αβεδδαρα τοῦ Γεθθαίου. [14]καὶ ἐκάθισεν ἡ κιβωτὸς τοῦ θεοῦ 14
ἐν οἴκῳ Αβεδδαρα τρεῖς μῆνας· καὶ εὐλόγησεν ὁ θεὸς Αβεδδαραμ
καὶ πάντα τὰ αὐτοῦ.

[1]Καὶ ἀπέστειλεν Χιραμ βασιλεὺς Τύρου ἀγγέλους πρὸς Δαυιδ **14**
καὶ ξύλα κέδρινα καὶ οἰκοδόμους τοίχων καὶ τέκτονας ξύλων τοῦ
οἰκοδομῆσαι αὐτῷ οἶκον. [2]καὶ ἔγνω Δαυιδ ὅτι ἡτοίμησεν αὐτὸν 2
κύριος ἐπὶ Ισραηλ, ὅτι ηὐξήθη εἰς ὕψος ἡ βασιλεία αὐτοῦ διὰ τὸν
λαὸν αὐτοῦ Ισραηλ.

[3]Καὶ ἔλαβεν Δαυιδ ἔτι γυναῖκας ἐν Ιερουσαλημ, καὶ ἐτέχθησαν 3
Δαυιδ ἔτι υἱοὶ καὶ θυγατέρες. [4]καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν τῶν 4
τεχθέντων, οἳ ἦσαν αὐτῷ ἐν Ιερουσαλημ· Σαμαα, Ισοβααμ, Ναθαν,
Σαλωμων [5]καὶ Ιβααρ καὶ Ελισαε καὶ Ελιφαλετ [6]καὶ Ναγε καὶ 5 6
Ναφαγ καὶ Ιανουου [7]καὶ Ελισαμαε καὶ Βαλεγδαε καὶ Ελιφαλετ. 7
[8]Καὶ ἤκουσαν ἀλλόφυλοι ὅτι ἐχρίσθη Δαυιδ βασιλεὺς ἐπὶ πάντα 8
Ισραηλ, καὶ ἀνέβησαν πάντες οἱ ἀλλόφυλοι ζητῆσαι τὸν Δαυιδ.
καὶ ἤκουσεν Δαυιδ καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῖς. [9]καὶ ἀλλό- 9

8 και $1^0$ > S† | εναντι S† | ψαλτωδοις] ωδαις *L*† | εν $3^0$ > S | εν $5^0$] pr. και A || 9 αλωνος] + χ(ε)ιδων A compl. (A λ pro δ) | την χειρα αυτου > S† | οτι] και B*† || 10 οργη κυριος] tr. A, οργη > B† || 12 προς εμαυτον / την κιβ. του θεου] tr. BS || 13 πολιν BS†] pr. την rel. | αβεδδαρα] αβεδδαδαν *L*†: cf. Regn. II 6 10 | γεθθαιου] χετταιου A || 14 μηνας] ημερας A† | αβεδδαραμ B†] -αραν S†, -αδαν *L*†, -αρα rel.; pr. τον AV†, pr. τον οικον compl.

14 1 και $3^0$ > S*† | τοιχων > BS† || 2 ητοιμακεν S† || 3 δαυιδ ult. B S†] pr. τω unus cod. cum BS cognatus, αυτω rel. || 4—7: cf. Regn. II 5 16a || 4 σαμαα] -μαια S†, σαμμαου A | ισοβααμ S†] -βοαμ B†, ουσωβαβ compl., και σωβαβ A | σαλωμων] pr. και A || 5 ιβααρ Ra.] ι > BS†, ιεβααρ A | ελισαε Ra.] -σαυ AV†, -σου uel -σουε mu., εκταε BS† | ελειφαλεθ B(†): cf. 7 fin. || 6 ναγε $L^p$†] -γεθ BA, -γετ S† | ναφαγ] -φατ SV†, -φαθ B† | ιανουου BS†] ιαφιε A || 7 ελ(ε)ισαμαε BS†] -μα A | βαλεγδαε BS†] βααλιαδα V, βαλλιαδα A$L^p$† | ελιφαλετ] ενφ. S†, εμφ. B† || 8 ηκουσεν δ. και εξηλθεν] εξηλθ. δ. ως ηκουσεν A† | υπαντησιν A† || 9 αλλοφυλοι] pr. οι S compl.: item mu. (non S) in 8 ($1^0$)